vna vtique eadémq. prima causa propriã eorum vnicuique aptitudinem reddente. Eadémque ratio est in mundo. Si quidem ab vna cœli vniuersi cõuersione, quæ die noctúque finitur, aliæ atque aliæ permeationes fiũt. Quúmque vno omnia coerceantur globo, pars tamen celerius, pars mouetur tardius: nimirum interuallorum lõgitudine & singulorum opificio eã differentiam efficiente. Et Luna quidem mẽse suũ peragit orbem, augescens vicissim, imminutáque & tabescens. Sol anni spacio suum orbem metitur, & qui eum æquant cursu Lucifer & Mercurius Pyrois spacio altero tanto maiore. Iouis stella spacio Pyroentis sexcuplici. Vltima, Saturni quæ dicitur, tempore sesquiplo maiore, quàm quantum est id quo circumagitur illa quę infra ipsam est proximè. Qui verò ex omnibus concentus existit consonantibus in cælo, chorúmque conficientibus, vt ex vno ille quidem oritur, ita in vnum desinit. Vniuersúmq. ipsum commodius Cosmon nominaueris, id est compagem rerum compositam cõcinnóque ordine digestam: quam acosmiam, id est congeriem confusam & inconditam. Quemadmodum porro fit in choro, vt auspicanti præsuli aut præcentori accinat omnis chorus è viris interdum fœminísque compositus, qui diuersis ipsi vocibus, grauibus scilicet & acutis, concentum attemperant: eãdem ipsi rationem statuimus & in Deo, qui vniuersum mundum moderatur & regit. Et sidera enim semper, & vniuersum ipsũ cælum, eos ad numeros mouentur, quos Deus sursum quasi auspicando præcinendóque emodulatur, quem à similitudine sanè congrua Coryphæum mundi rectè appellaueris, quasi præsultorem ipsum, huiúsque chori magistrum. Geminis autem itineribus Sol ingreditur, lumine suo cũcta quoquouersus collustrans: diem noctémque altero itinere disterminans, ortu suo scilicet, & occasu: altero quatuor anni tempora secum ductitans, vltro citróque per cælum perreptando, nunc Aquilonius ipse, nunc Austrinus. Quid dicam pluuias tempestiuè existentes, ventos & rores, omneísque permotiones quæ in aere eueniunt à principe rerum causa atque primordiali? Adde fluminum lapsus, maris æstus intumescentis, enascentium arborum incrementa, frugum maturitates, fœturas animalium: denique vegetationes rerum omnium adolescentium primum, deinde tabescentium, eodem accedentibus causis (vt dictum est) à constitutionibus singulis rerum atque opificiis. Itaque ille omnium princeps paréns que, animi tantum sensu spectabilis, simul ac signum naturis

A μετάρσιον οἰχήσεται πεπεμμένον, μιᾶς τῆς προφότης αἰτίας πᾶσιν ἀποδιδούσης, τὴν οἰκείαν εἱμαρμένην. οὕτως ἔχει καὶ ἐπὶ κόσμου· διὰ γὰρ ἁπλῆς τῆς τοῦ σύμπαντος οὐρανοῦ περιαγωγῆς ἡμέρᾳ καὶ νυκτὶ περατουμένης, ἀλλοῖαι πάντων διέξοδοι γίνονται, καίτοι ὑπὸ μιᾶς σφαίρας περιεχομένων, τῶν μὲν θᾶττον, τῶν δὲ σχολαιότερον κινουμένων, παρά τε B τὰ τῶν διαστημάτων μήκη, καὶ τὰς ἰδίας ἑκάστων κατασκευάς· σελήνη μὲν γὰρ, ἐν μηνὶ τὸν ἑαυτῆς διαφαίνεται κύκλον, αὐξομένη τε, καὶ μειουμένη, καὶ φθίνουσα· ἥλιος δὲ, ἐν ἐνιαυτῷ· καὶ οἱ τούτου ἰσόδρομοι, ὅ, τε φωσφόρος, καὶ ὁ Ἑρμῆς λεγόμενος. ὁ δὲ Πυρόεις, ἐν διπλασίονι τούτων χρόνῳ· ὁ δὲ Διὸς, ἐν ἑξαπλασίονι τούτου· καὶ τελευταῖος, ὁ τοῦ Κρόνου λεγόμενος, ἐν διπλασίονι C καὶ ἡμίσει τοῦ ὑποκάτω. μία δὲ, ἐκ πάντων ἁρμονία συναδόντων καὶ χορευόντων κατὰ τὸν οὐρανὸν, ἐξ ἑνός τε γίνεται, καὶ εἰς ἓν ἀπολήγει. κόσμον δ' ἐτύμως τὸ σύμπαν, ἀλλ' οὐκ ἀκοσμίαν, ὀνομάσαις ἄν. καθάπερ δὲ ἐν χορῷ, κορυφαίου κατάρξαντος, συνεπηχεῖ πᾶς ὁ χορὸς ἀνδρῶν, ἔσθ' ὅτε καὶ γυναικῶν, ἐν διαφόροις φωναῖς ὀξυτέραις καὶ βαρυτέραις, D μίαν ἁρμονίαν ἐμμελῆ κεραννύντων. οὕτως ἔχει καὶ ἐπὶ τοῦ τὸ σύμπαν διέποντος θεοῦ· κατὰ γὰρ τὸ ἄνωθεν ἐνδόσιμον ὑπὸ τοῦ φερωνύμως ἂν κορυφαίου προσαγορευθέντος, κινεῖται μὲν τὰ ἄστρα ἀεὶ, καὶ ὁ σύμπας οὐρανός· πορεύεται δὲ διττὰς πορείας ὁ παμφαὴς ἥλιος· τῇ μὲν, ἡμέραν καὶ νύκτα διορίζων, ἀνατολῇ καὶ δύσει· τῇ δὲ, τὰς τέσσαρας ὥρας ἄγων τοῦ ἔτους, πρόσω τε βόρειος, καὶ ὀπίσω νό- E τιος διεξέρπων. γίνονται δὲ ὑετοὶ κατὰ καιρὸν, καὶ ἄνεμοι, καὶ δρόσοι, τά τε πάθη τὰ ἐν τῷ περιέχοντι συμβαίνοντα, διὰ τὴν πρώτην καὶ ἀρχέγονον αἰτίαν. ἕπονται δὲ τούτοις, ποταμῶν ἐκροαὶ, θαλάσσης ἀνοιδήσεις, δένδρων ἐκφύσεις, καρπῶν πεπάνσεις, γοναὶ ζῴων, ἐκτροφαί τε πάντων, καὶ ἀκμαὶ, καὶ φθίσεις, συμβαλλομένης πρὸς ταῦτα καὶ τῆς ἑκάστου κατασκευῆς ὡς F ἔφην. ὅταν οὖν ὁ πάντων ἡγεμών τε καὶ γενέτωρ, ἀόρατος ὢν ἄλλῳ, πλὴν λογισμῷ, σημήνῃ